| | |
|---|---|
| Τὴν ἀσπίδα τῆς κωλῆς προέχων, ἀμελῇ τῆς Τριτογενείας. A | *Prætendedo, negligat saltationem. Proin ô adolescens* |
| Πρὸς ταῦτ' ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ. | *Bono animo es, méque tibi elige sermonē multò potiorem.* |
| Κἀπιστήσει μισεῖν ἀγοράν. καὶ βαλανείων ἀπέχεσθαι. | *Etenim sic disces odisse forum: & balnea nunquam intrare,* |
| Καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι. κἂν σκώπτῃ τίς σε φλέγεσθαι. | *Suffundique pudore ob turpia: tum si quis crimine lædat,* |
| Καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσι. B | *Exardere: & senioribus assurgere, quando ingrediuntur.* |
| Καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας κακουργεῖν· ἄλλο τε μηδὲν | *Neque malè facere parentibus, & nihil vsquam admittere turpe:* |
| Αἰσχρὸν ποιεῖν, ὅτι τῆς αἰδοῦς μέλλεις τἄγαλμ' ἀναπλήσειν. | *Adéoque pudoris viuum exemplum in te dare: sed neque lectum* |
| Μηδ' εἰς ὀρχηστρίδος εἰσιέναι. ἵνα μὴ πρὸς ταῦτα κεχηνώς, | *Intrabis saltatricis, ne, dum istis inhias, meretrix te* |
| Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς. C | *Malo petat: & exinde bona de fama tu excutiaris.* |
| Μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδέν. μηδ' Ἰαπετὸν καλέσαντα | *Neque patri responsabis quicquam: neque vetulum, Iapetúmque* |
| Μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. | *Dices, nec senium exprobrabis ei, qui te educauit alumnum.* |
| Αδ. Εἰ ταῦθ' ὦ μειράκιον πείσει τούτῳ, νὴ τὸν Διόνυσον, | *IN. At tu, si huic morigerere, adolescens: tum sanè, per Iacchum* |
| Τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσι βλιτομάμμαν | *Similis eris Hippocratis filiis stupidis: bardúmque vocabunt.* |
| Δι. Ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις D | *IV. Imò nitidus versaberis in ludis, & floridus vsque:* |
| Οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷάπερ οἱ νῦν, | *Nec prostitues nugacissima verba foro: qualia nostri:* |
| Οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου. | *Neque trahêre in ius, propter miserolitigiosomalignum* |
| Ἀλλ' εἰς Ἀκαδημίαν κατιών, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις E | *Paruúmque negotiolum: sed enim in Academia sub oliuis* |

Σχόλια. Τριτογενείας.] εἶδος ὀρχήσεως. ἣ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι τριτογένεια κέκληται. τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν, οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες. οἱ ὕστερον δέ, ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δέ φασι τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀποδέδωκεν.

Bisetvs. Ἐκεῖ γὰρ τὸ προέχων ἑνικὸν εὐθείας πτώσεως, πρὸς τὸ αὐτοὺς πληθυντικὸν τῆς αἰτιατικῆς συντέτακται, ἀντὶ τοῦ, αὐτοὺς προέχοντας. ἀλλὰ τοῦτο τὸ ἀνακόλουθον καλῶς διορθοῦσθαι δύναται εἰ ἀντὶ τοῦ προέχων, προέχειν γράφοις, ὑπακουομένου ῥήματος ὁρῶ. οὕτως, ὅταν δέον ὀρχεῖσθαι, ὁρῶ αὐτοὺς προέχειν ἀσπίδα. καὶ τὰ ἑξῆς. ἢ ταῦτα καλῶς ἐκ τοῦ προηγουμένου ῥήματος, διδάσκεις, ἀρτᾶται. διδάσκεις προέχειν. τοῦτο οὐκ ἀπίθανον. κωλῆ δὲ ἐνταῦθα τὸ αἰδοῖον σημαίνει.

Σχόλια. Ἀμελῇ] ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμέλει τῆς τριτογενείης εὕρηται.

Bisetvs. Κἀπιστήσει] καὶ ἐπιστήσει, μαθήσει. παρὰ τὸ ἐπίστασθαι, ὁ μέλλων, ἐπιστήσομαι. τὸ δὲ δεύτερον πρόσωπον διὰ τῆς διφθόγγου ει κατὰ τοὺς παλαιούς. κατὰ δὲ τοὺς νεωτέρους διὰ τοῦ ῃ διφθόγγου γράφεται. ἐπίστασθαι δὲ, τὸ γινώσκειν, καὶ μανθάνειν. ὅθεν ἐπιστήμη, καὶ ἐπιστήμων.

Σχόλια. Μὴ περὶ τοὺς σεαυτοῦ.] ἀντὶ τοῦ μὴ παρὰ γνώμην τῶν σῶν γονέων, ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ.

Ὅτι τῆς αἰδοῦς] εἴπερ μέλλεις τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. γράφεται δὲ καὶ ἀφανίζειν. Μήλῳ βληθείς.] ἀντὶ τοῦ ἔρωτι. μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν. ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν.

Bisetvs. Θεόκριτος εἰδ. γ.

Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν. ἁ δ' Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα.

καὶ εἰδ. ϛ.

F Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα.

Σχόλια. Τοῖς Ἱπποκράτους.] οὗτοί εἰσι Τελέσιππος. Δημοφῶν. Περικλῆς. διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν δήμοις. Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες, βληχητὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου. Βλιτομάμμαν] μωρόν, τὸ γὰρ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον. εἰκότως δὲ εἶπε καλοῦσι καὶ οὐ καλέσουσι πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι εἴξεις εἶπε. διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, καλοῦσιν εἴρηκε. Τριβολεκτράπελα.] ἐκ τοῦ τριβόλου καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα καὶ ἀπόβλητα καὶ ἀνώμαλα. G

Bisetvs. Τριβολεκτράπελ'.] Σουίδας ταύτην τὴν λέξιν ἐκ τοῦ τριβόλου, καὶ ἐκτραπέλου συγκεῖσθαι λέγει. τρίβολος δὲ, εἶδος κακίστης βοτάνης.

Σχόλια. Γλισχραντιλογεξεπιτρίπτου.] ἐκ τοῦ γλίσχρου καὶ